## ARCADIO

### Tegea, s. IV, IG V,2, 6.A.I.

[…]  (VI) εἰ δ’ ἄν τις ἐργωνήσας
ἔργον τι ποσκατυβλάψη τι ἄλλυ τῶ̣ν ὑπαρχόντων
ἔργων εἴτε ἱερὸν εἴτε δαμόσιον εἴτε ἴδιον
πὰρ τὰν σύγγραφον τᾶς ἐσδοκαῦ, ἀπυκαθιστάτω
τὸ κατυ̣βλαφθὲν τοῖς ἰδίοις ἀναλώμασιν μὴ ἧσσον
ἢ ὑπᾶρχε ἰν τοῖ χρόνοι τᾶς ἐργωνίαυ·

### Tegea, *ca.* 218, IG V,2 16

ὁπότε Θεόκριτος καὶ Ἀμφάλκης τῶν πολεμίων
ἐπι<β>άντων ἐπὶ τὰ τείχεα ἄνδρες ἀγαθοὶ
ἐγένοντο μαχόμενοι ὑπὲρ τᾶι τᾶς πόλιο̣[ς]
ἐλευθερίαι, καὶ ἀπεδείξαντο τὰν εὔνοιαν
ἀξίως τῶ προκειμένω κινδύνω, δεδόχθαι
τᾶι πόλι ἀνκαρῦ̣ξαι αὐτὸς ἀνδραγαθίαυ
κατὸν νόμον, καὶ ἀνγράψαντας τὸ ψάφισμα
τόδε τὸς στραταγὸς τὸς περὶ Στρατέαν
εἰς στάλαν ἀνθῆναι ἰν τὰν ἀγοράν, ὅπως κ<αὶ>
οἱ λοιποὶ λεύ̣σ̣οντες τὰν τᾶς πόλιος ε[ὐ]-
χαριστίαν ἄνδρες ἀγαθοὶ γίνωνται· γρά-
ψαι δὲ ἰν τὰν στ̣ά̣λαν τὰν αὐτάν, ὅθ̣ι καὶ οἱ
[π]ερὶ Θεόκριτον, Σιμίδαν, Νικίαν, Ξένιππον
Ἀρχέαν Ἐπιτέλην.